Séminaire AMASA « Que faire avec… un vers ? » lundi 9 mars 2015
Bénédicte Delignon - Nadine Le Meur

| | |
|---|---|
| *Iliade* VI, 399-409 :<br>ἥ οἱ ἔπειτ’ ἤντησ’, ἅμα δ’ ἀμφίπολος κίεν αὐτῇ<br>παῖδ’ ἐπὶ κόλπῳ ἔχουσ’ ἀταλάφρονα νήπιον αὔτως<br>Ἑκτορίδην ἀγαπητὸν ἀλίγκιον ἀστέρι καλῷ,<br>τόν ῥ’ Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι<br>Ἀστυάνακτ’· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.<br>ἤτοι ὃ μὲν μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ· 404<br>Ἀνδρομάχη δέ οἱ ἄγχι παρίστατο δάκρυ χέουσα,<br>ἔν τ’ ἄρα οἱ φῦ χειρὶ ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·<br>« Δαιμόνιε φθίσει σε τὸ σὸν μένος, οὐδ’ ἐλεαίρεις<br>παῖδά τε νηπίαχον καὶ ἔμ’ ἄμμορον, ἣ τάχα χήρη 408<br>σεῦ ἔσομαι· (...) | Elle vint donc à sa rencontre, une servante l'accompagnait,<br>tenant sur son sein l'enfant au tendre cœur, un bébé encore,<br>fils chéri d'Hector, semblable à un bel astre ;<br>Hector le nommait Scamandrios et les autres<br>Astyanax, parce qu'à lui seul Hector protégeait Troie.<br>Il sourit en voyant son enfant, sans rien dire.<br>Mais Andromaque s'arrêta près de lui tout en larmes ;<br>elle lui prit la main et lui dit en l'appelant :<br>« Pauvre fou ! ta fougue te perdra ; et tu n'as pas pitié de ton enfant tout petit ni de moi, malheureuse, qui bientôt serai ta veuve. » |
| 3 occurrences de νηπίαχος :<br>νηπιάχοις οἷς οὔ τι μέλει πολεμήϊα ἔργα (II, 338)<br>παῖδά τε νηπίαχον καὶ ἔμ’ ἄμμορον, ἣ τάχα χήρη (VI, 408)<br>αἰεὶ κερτομέοντες ὁδῷ ἔπι οἰκί’ ἔχοντας/ νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι. (XVI, 262) | |
| *Iliade* VI, 431-432 :<br>ἀλλ’ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν’ ἐπὶ πύργῳ,<br>μὴ παῖδ’ ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα· | « Allons, aie pitié maintenant et reste ici sur le rempart,<br>ne fais pas de ton enfant un orphelin ni une veuve de ta femme. » |
| *Iliade* XXII, 482-507 :<br>νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης<br>ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις<br>χήρην ἐν μεγάροισι· πάϊς δ’ ἔτι νήπιος αὔτως,<br>ὃν τέκομεν σύ τ’ ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ<br>ἔσσεαι Ἕκτορ ὄνειαρ ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.<br>ἤν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,<br>αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε’ ὀπίσσω<br>ἔσσοντ’· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.<br>ἦμαρ δ’ ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·<br>πάντα δ’ ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί,<br>δευόμενος δέ τ’ ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,<br>ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·<br>τῶν δ’ ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε·<br>χείλεα μέν τ’ ἐδίην’, ὑπερῴην δ’ οὐκ ἐδίηνε. -<br>τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε<br>χερσὶν πεπλήγων καὶ ὀνειδείοισιν ἐνίσσων·<br>« ἔρρ’ οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν. »<br>δακρυόεις δέ τ’ ἄνεισι πάϊς ἐς μητέρα χήρην<br>Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς<br>μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν·<br>αὐτὰρ ὅθ’ ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,<br>εὕδεσκ’ ἐν λέκτροισιν ἐν ἀγκαλίδεσσι τιθήνης<br>εὐνῇ ἔνι μαλακῇ θαλέων ἐμπλησάμενος κῆρ·<br>νῦν δ’ ἂν πολλὰ πάθῃσι φίλου ἀπὸ πατρὸς ἁμαρτὼν<br>Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·<br>οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά. | « Et maintenant, c'est vers la demeure d'Hadès, dans les profondeurs de la terre,<br>que tu t'en vas et tu me laisses dans un deuil affreux,<br>veuve en ta maison. Et c'est un bébé encore, l'enfant<br>que nous avons mis au monde, toi et moi, malheureux ! Tu ne seras pas pour lui<br>un soutien, Hector, maintenant que tu es mort, ni lui n'en sera un pour toi.<br>S'il échappe à la guerre, source de pleurs, que nous font les Achéens,<br>l'avenir pour lui ne sera que peine et chagrin ;<br>d'autres lui enlèveront ses champs.<br>Le jour qui rend un enfant orphelin le prive de tous ses camarades.<br>Devant tous, il baisse la tête ; ses joues sont pleines de larmes.<br>Pressé par le besoin, l'enfant se tourne implorant vers les amis de son père,<br>tirant l'un par son manteau, l'autre par sa tunique.<br>Parmi ceux qui ont pitié de lui, l'un lui donne à boire dans une petite coupe ;<br>il y mouille ses lèvres, mais n'y mouille pas son palais !<br>Et celui qui grandit entre père et mère le chasse du festin,<br>le frappant de ses mains et l'insultant de ses sarcasmes :<br>« Va-t-en, et sans faire de façons : ton père ne partage pas le festin avec nous ».<br>Et, en pleurs, l'enfant se tourne vers une mère veuve,<br>cet Astyanax qui, auparavant, sur les genoux de son père,<br>ne mangeait que moelle et riche graisse de mouton ;<br>puis, quand le sommeil le prenait, qu'il avait fini de s'amuser,<br>il dormait dans un lit, aux bras de sa nourrice,<br>sur une couche molle, le cœur rassasié de plaisirs.<br>Maintenant, au contraire, ce sont de nombreuses souffrances que va connaître, privé de son cher père,<br>Astyanax, comme le surnomment les Troyens,<br>car toi seul protégeais leurs portes et leurs longues murailles ! » |
| 3 occurrences du nom d’Astyanax :<br>Ἀστυάνακτ’· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ (VI, 403)<br>Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς (XXII, | |

| | |
|---|---|
| 500)<br>Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν· (XXII, 506) | |
| *Iliade* XXIV, 725-737 :<br>ἆνερ ἀπ᾽ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην<br>λείπεις ἐν μεγάροισι· πάϊς δ᾽ ἔτι νήπιος αὔτως<br>ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω<br>ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ᾽ ἄκρης<br>πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν<br>ῥύσκευ, ἔχες δ᾽ ἀλόχους κεδνὰς καὶ νήπια τέκνα,<br>αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,<br>καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ᾽ αὖ τέκος ἢ ἐμοὶ αὐτῇ<br>ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο<br>ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν<br>ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου λυγρὸν ὄλεθρον<br>χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ<br>ἢ πατέρ᾽ ἠὲ καὶ υἱόν (...) | « Époux, tu as quitté la vie et péri bien jeune, et tu me laisses veuve en ta maison. Et il est si petit encore, l'enfant<br>que nous avons mis au monde, toi et moi, malheureux ! et je ne pense pas<br>qu'il parvienne à l'adolescence : auparavant notre ville de fond en comble<br>sera détruite ; car tu es mort, toi, son défenseur, qui la<br>protégeais, qui lui gardais ses nobles épouses et ses jeunes enfants.<br>Elles, elles seront bientôt emmenées sur des vaisseaux creux,<br>et moi avec elles ; et quant à toi, mon petit, ou bien tu me<br>suivras en un pays où tu risques de travailler à des tâches indignes,<br>peinant pour un maître sans douceur, ou bien quelque Achéen,<br>te prenant par la main, te jettera — fin misérable ! —du haut de nos remparts,<br>irrité de ce qu'Hector lui a tué un frère,<br>un père, ou, à lui aussi, un fils. » |
| Formules « x καὶ νήπια τέκνα » :<br>ἡμέτεραί τ᾽ ἄλοχοι καὶ νήπια τέκνα (II, 136)<br>ἀλόχους τε φίλας καὶ νήπια τέκνα (IV, 238)<br>ἄστύ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα (VI, 95 = 276 = 310)<br>Τρώων ἀλόχους καὶ νήπια τέκνα (XVII, 223)<br>τεῖχος μέν ῥ᾽ ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα (XVIII, 514) | |

| | |
|---|---|
| *Hymne homérique à Déméter* 5-18<br>παίζουσαν κούρῃσι σὺν Ὠκεανοῦ βαθυκόλποις,<br>ἄνθεά τ᾽ αἰνυμένην ῥόδα καὶ κρόκον ἠδ᾽ ἴα καλὰ<br>λειμῶν᾽ ἂμ μαλακὸν καὶ ἀγαλλίδας ἠδ᾽ ὑάκινθον<br>νάρκισσόν θ᾽, ὃν φῦσε δόλον καλυκώπιδι κούρῃ<br>Γαῖα Διὸς βουλῇσι χαριζομένη πολυδέκτῃ<br>θαυμαστὸν γανόωντα, σέβας τότε πᾶσιν ἰδέσθαι<br>ἀθανάτοις τε θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·<br>τοῦ καὶ ἀπὸ ῥίζης ἑκατὸν κάρα ἐξεπεφύκει,<br>κῶζ᾽ ἥδιστ᾽ ὀδμή, πᾶς δ᾽ οὐρανὸς εὐρὺς ὕπερθε<br>γαῖά τε πᾶσ᾽ ἐγέλασσε καὶ ἁλμυρὸν οἶδμα θαλάσσης.<br>ἡ δ᾽ ἄρα θαμβήσασ᾽ ὠρέξατο χερσὶν ἅμ᾽ ἄμφω<br>καλὸν ἄθυρμα λαβεῖν· χάνε δὲ χθὼν εὐρυάγυια<br>Νύσιον ἂμ πεδίον τῇ ὄρουσεν ἄναξ πολυδέγμων<br>ἵπποις ἀθανάτοισι Κρόνου πολυώνυμος υἱός. | S'amusant avec les jeunes Océanides à l'ample poitrine,<br>elle ramassait des fleurs, des roses, des safrans, de belles violettes,<br>dans une tendre prairie, des iris, des jacinthes<br>et le narcisse que, par ruse, fit pousser pour la jeune fille au teint frais comme un bouton de rose,<br>la Terre, selon les desseins de Zeus, pour complaire à l'Hôte de nombreux hommes :<br>il brillait d'un éclat merveilleux, inspirant un respect religieux à tous ceux qui le voyaient,<br>dieux immortels ainsi qu'hommes mortels.<br>De sa racine cent têtes étaient nées,<br>et le parfum le plus délicat s'en dégageait ; tout le vaste Ciel d'en haut<br>et la Terre tout entière se mirent à rire, ainsi que le gonflement salé de la vague marine.<br>Elle, étonnée, tendit les deux mains<br>pour prendre le beau jouet ; mais le sol aux larges routes s'ouvrit<br>dans la plaine nysienne et en surgit le Seigneur de nombreux hôtes,<br>avec ses chevaux immortels, le Cronide invoqué sous de nombreux noms. |
| *Hymne homérique à Déméter* 425-430<br>παίζομεν ἠδ᾽ ἄνθεα δρέπομεν χείρεσσ᾽ ἐρόεντα,<br>μίγδα κρόκον τ᾽ ἀγανὸν καὶ ἀγαλλίδας ἠδ᾽ ὑάκινθον<br>καὶ ῥοδέας κάλυκας καὶ λείρια, θαῦμα ἰδέσθαι,<br>νάρκισσόν θ᾽ ὃν ἔφυσ᾽ ὥς περ κρόκον εὐρεῖα χθών.<br>αὐτὰρ ἐγὼ δρεπόμην περὶ χάρματι, γαῖα δ᾽ ἔνερθε<br>χώρησεν, τῇ δ᾽ ἔκθορ᾽ ἄναξ κρατερὸς πολυδέγμων. | nous nous amusions à cueillir de nos mains des fleurs charmantes,<br>pêle-mêle tendres safrans, iris et jacinthes,<br>roses en boutons et lis, merveille à voir,<br>et le narcisse que fit pousser, comme un safran, la vaste terre.<br>Et alors que je le cueillais toute joyeuse, la terre d'en dessous<br>s'entrouvrit et s'en élança le puissant Seigneur de nombreux hôtes. |

| | |
|---|---|
| Pindare, fr. 29<br>Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν<br>ἢ Κάδμον ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν c. 2<br>ἢ τὰν κυανάμπυκα Θήβαν<br>ἢ τὸ πάντολμον σθένος Ἡρακλέος<br>ἢ τὰν Διωνύσου πολυγαθέα τιμὰν c. 5 | Est-ce Isménos, ou Mélia à la quenouille d’or,<br>ou Cadmos, ou la race sacrée des Hommes Semés,<br>ou Thébé au bandeau bleu sombre,<br>ou la toute audacieuse force d’Héraclès,<br>ou l’apanage de Dionysos source de toute joie, |

| | |
|---|---|
| ἢ γάμον λευκωλένου Ἁρμονίας<br>ὑμνήσομεν; | ou le mariage d’Harmonie aux bras blancs<br>que nous célébrerons ? |
| Pindare, fr. 30<br>πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν<br>χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν c. 2<br>Μοῖραι ποτὶ κλίμακα σεμνὰν<br>ἆγον Οὐλύμπου λιπαρὰν καθ’ ὁδόν<br>σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν· c. 5<br>ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρ-<br>πους τίκτεν ἀλαθέας Ὥρας. | Tout d’abord c’est Thémis bonne conseillère, la céleste,<br>que, sur des juments dorées, des sources de l’Océan,<br>les Moires jusqu’à l’auguste échelle<br>de l’Olympe conduisirent, le long d'une route brillante,<br>pour être de Zeus Sauveur la primitive épouse.<br>Et elle enfanta les Heures véridiques<br>aux bandeaux dorés, aux fruits splendides. |
| Pindare, fr. 33a<br>– ⏑ – σκᾶπ]τον χερί · τὰν δ’ἱεράν c. 1 (= c. 4)<br>– – ⏑ – –] Κῶν, ἐπὶ δὲ στρατὸν ἄΐσ-<br>σ – ⏑ – ⏓ – ⏑]ọς οὔτε θαλασ-<br>σ – – ⏑ ⏑ – ἀνέ]μοισιν c. 3 (= c. 6)<br>– – ⏑ – ]ẹ. [ – ⏑ ⏑ ]ṭηρ c. 5 (= c. 8) | bâton dans la main. La sainte<br>… Cos, sur l’armée s’élanç…<br>… ni la mer // ni [semblable à] la mer<br>… les vents// [ni semblable aux] vents |
| Pindare, fr. 33c<br>Χαῖρ’, ὦ θεοδμάτα, λιπαροπλοκάμου<br>παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος, c. 2<br>πόντου θύγατερ, χθονὸς εὐρεί-<br>ας ἀκίνητον τέρας, ἅν τε βροτοί<br>Δᾶλον κικλῄσκοισιν, μάκαρες δ’ ἐν Ὀλύμπῳ c. 5<br>τηλέφαντον κυανέας χθονὸς ἄσ-<br>τρον. | Salut, (île) par les dieux créée, pour les enfants de Léto<br>aux boucles brillantes très charmant rejeton,<br>fille du flot marin, de la vaste terre<br>prodige immobile, toi que les mortels<br>appellent Délos, et les bienheureux sur l’Olympe<br>l’astre au loin visible de la sombre<br>terre. |
| Pindare, fr. 33d<br>ἦν γὰρ τὸ πάροιθε φορητὰ c. 1 (= c. 3)<br>κυμάτεσσιν παντοδαπῶν ἀνέμων<br>ῥιπαῖσιν· ἀλλ’ ἁ Κοιογενὴς ὁπότ’ ὠδί- c. 3 (= c. 5)<br>νεσσι θυίοισ’ ἀγχιτόκοις ἐπέβα<br>νιν, δὴ τότε τέσσαρες ὀρθαί c. 5 (= c. 7)<br>πρέμνων ἀπώρουσαν χθονίων,<br>ἂν δ’ ἐπικράνοις σχέθον c. 7 (= c. 9)<br>πέτραν ἀδαμαντοπέδιλοι<br>κίονες, ἔν θα τεκοῖ- c. 9 (= c. 11)<br>σ’ εὐδαί μον’ ἐπόψατο γένναν.<br>.] . . ισ[ c. 11 (= c. 13) | Autrefois, elle était en effet portée<br>sur les vagues, au gré des souffles<br>de tous les vents. Mais quand la fille de Coïos s’élança<br>en proie aux douleurs d'un proche enfantement et posa<br>le pied sur elle, alors, au nombre de quatre, droites,<br>surgirent des fondements terrestres,<br>et de leurs chapiteaux soutinrent<br>le rocher, des colonnes à la base d’acier ;<br>ayant enfanté là, elle [Léto] contempla son heureuse descendance. |

Bibliographie :


AREND W. (1933), *Die typischen Szenen bei Homer*, Berlin.

DAIN A. (1965), *Traité de métrique grecque*, Paris.

D’ALESSIO G. B. (2005), « Il primo Inno di Pindaro », dans S. GRANDOLINI (éd.), *Lirica e Teatro in Grecia. Il testo e la sua ricezione. Atti del II Incontro di Studi. Perugia, 23-24 gennaio 2003*, Naples, pp. 113–149.

FORTASSIER P. (1993), « Sur trois adjectifs homériques : φυσίζοος, (χειρὶ) παχείῃ, εὐρυάγυια », *Revue des Études Grecques* 106, pp. 174-180.

HAINSWORTH J. B. (1968), *The Flexibility of the Homeric Formula*, Oxford.

HOEKSTRA A. (1965), *Homeric modifications of Formulaic Prototypes*, Amsterdam.

KOSTER W. J. W. (1936), *Traité de métrique grecque suivi d'un précis de métrique latine*, Leyde.

LE MEUR N. (2009), « Les Enfants dans l'*Iliade* », dans M. Fartzoff, M. Faudot, É. Geny, M. R. Guelfucci, *Reconstruire Troie. Permanence et renaissances d'une cité emblématique*, Besançon, pp. 41-72.

LE MEUR N. (2011), « L'*Hymne homérique à Déméter*, une histoire d'amour ? », dans S. Longeray-Coin, *Eros Eris. L'amour et la haine. L'expression des sentiments,* Saint-Etienne, pp. 35-64.

PARRY M. (1928), *L'Épithète traditionnelle chez Homère. Essai sur un problème de style homérique*, Paris.

SAÏD S. (1998), *Homère et l'Odyssée*, Paris.

SEGAL C. (1971), « Andromache's *Anagnorisis* : Formulaic Artistry in *Iliad* 22.437-476 », *Harvard Studies in Classical Philology* 75, pp. 33-57.